**0345-0407 - Iohannes Chrysostomus - In sanguinis fluxu laborantem**

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 356 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

[00001] In sanguinis fluxu laborantemὰ

[00002] Ε΄.

[00003] Τοῦ αὐτοῦ εἰς τὴν αἱμοῤῥοοῦσαν, ἐκ τοῦ κατὰ Λουκᾶν Εὐαγγελίου.

64.17

[00004] Ἄλλοις μὲν ἄλλας ὁ τοῦ βίου σκοπὸς ἐμπορίας ἐμέρισε, διαιρῶν ἑκάστῳ τὴν δοκοῦσαν εἶναι χρειώδη καὶ συμφέρουσαν·

[00005] ἡμῖν δὲ μίαν ἀπένειμεν ὁ Θεὸς τὴν ἐμπορίαν τοῦ Πνεύματος, πολλαπλῆν οὖσαν διὰ πίστεως, καὶ κατορθοῦσαν τὰ μέγιστα κατὰ τὸ γεγραμμένον·

[00006] Τὸ δὲ αὐτὸ Πνεῦμα διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται.

[00007] Μόνη γὰρ πίστις παραμένει τοῖς ἔχουσιν·

[00008] οὐ ψεύδεται τὸν λαμβάνοντα, οὐκ ἀθετεῖ τὸν κτησάμενον, οὐκ εὐλαβεῖται τοὺς κλέπτας, οὐχ ὑφορᾶται τοὺς ἅρπαγας, οὐ χρήζει σφραγίδων, οὐ ζητεῖ τοὺς φυλάττοντας·

[00009] Θεὸν γὰρ ἔχει φύλακα τὸν πάντα τοῖς πᾶσι διὰ ταύτης ἑτοίμως παρέχοντα.

[00010] Ταύτην ἐπιθυμοῦσιν ἔχειν βασιλεῖς, ἀλλ' ἰδιῶται κέκτηνται·

[00011] ζητοῦσι δυνάσται, αὐτὴ δὲ ταπεινοῖς προστρέχει, καὶ τοὺς εὐτελεῖς περιπτύσσεται·

[00012] ἔρχεται πρὸς τοὺς ἀῤῥώστους, καὶ τούτους παρακρατοῦσα χειραγωγεῖ, ἀμισθὶ τὰς ἰάσεις δωρουμένη.

[00013] Ὅταν οὖν ἴδῃς, ἀγαπητὲ, τὸν Χριστὸν ἐξ ὄρους κατερχόμενον, [64.18] καὶ πάλιν εἰς ὄρος ἀναβαίνοντα, περῶντα λίμνην, διαπλέοντα θάλασσαν, ἀγροῖς ἐπιδημοῦντα καὶ πόλεσι καὶ κώμαις, μετὰ τῆς κάτω πορείας μέμνησο καὶ τῆς ἄνω·

[00014] μὴ ἐπιλάθῃ τῆς τῶν Χερουβὶμ καθέδρας, μὴ παρέλθῃς τὰ θεῖα διὰ τὰ ἀνθρώπινα, μὴ λήθη παραδῷς τὸν οὐρανὸν, μὴ ἀμνημονήσῃς ὅτι σὰρξ ὁ Λόγος γέγονεν, ὡς ἠθέλησεν.

[00015] Ἡ γὰρ σὰρξ ὁ Λόγος ἐγένετο·

[00016] ὡς σὰρξ περιπατεῖ, ὡς λόγος παραχωρεῖ·

[00017] ὡς σὰρξ εἰς ὄρος ἀναβαίνει, ὡς Λόγος ἐπάνω τῶν Χερουβὶμ καθέζεται·

[00018] ὡς σὰρξ ὑπομένει δι' ἐμὲ τὰ ἐμὰ, ὡς Λόγος τὰ τοῦ Πατρὸς ἀκαμάτως ἐργάζεται, ἐξ ὕδατος ἐν Κανᾷ παραστήσας·

[00019] φωτὸς ἀνοίγει θυρίδας, πηλῷ καὶ δακτύλῳ καινουργῶν τὰς ὁράσεις.

[00020] Εἶπε τῷ λεπρῷ, Θέλω καθαρίσθητι, καὶ μετὰ τὴν φωνὴν τὸ πάθος οὐκ ἦν·

[00021] Ἔγειρε, λέγει τῷ παραλυτικῷ·

[00022] ὁ λόγος δὲ ἀντὶ ποδῶν ἐγίνετο, καὶ τὸ πρόσταγμα βάδισμα θᾶττον ὁ πάσχων ἐλάμβανεν·

[00023] ἔφθασε τὸ Ἰαείρου δωμάτιον, καὶ τὸ [64.19] πένθος ἀθρόον εἰς χαρὰν μετεβάλλετο.

[00024] Ἰδοὺ καὶ τήμερον ὄχλῳ περισφιγγόμενος ἐκλάμπει τὸ κράσπεδον, καὶ τῷ ὄμβρῳ τῆς πίστεως τὴν ῥύσιν κατέκλυσε.

[00025] Τί γὰρ ἡμῖν ἀρτίως ὁ εὐαγγελιστὴς εἰσηγήσατο, τὰ κέρδη τῆς πίστεως εἰσφέρων πολύτροπα;

[00026] Ἦν γάρ τις ἀρχισυνάγωγος, τῶν Μωϋσέως νόμων θεραπευτὴς, καὶ τοῦ λαοῦ παιδευτὴς, τὴν δὲ κλῆσιν Ἰάειρος.

[00027] Τούτῳ μίαν χάριν ἡ φύσις δέδωκε, μονογενῆ θυγατέρα, εἰς ἣν ὄχλος ἠσχόλητο ἀναγκαῖος, ὡς ἔθος ὑπάρχει γενέτῃ φιλόπαιδι.

[00028] Ἀλλ', ὡς ἔοικεν, ἐλάνθανεν, οὐκ εἰς διαδοχὴν, ἀλλ' εἰς πρόωρον ταφὴν ταύτης ἐπιμελούμενος.

[00029] Νόσημα γὰρ αὐτῇ τι χαλεπὸν ἐπελθὸν, γείτονα μὲν ταύτην τοῦ θανάτου ποιεῖ, τὸν δὲ πατέρα τῆς ἐπ' αὐτῇ χρηστῆς ἐξέκοψεν ἐλπίδος.

[00030] Ἀλλ' οὐκ ἐνίκησε τὴν πίστιν τὸ πάθος·

[00031] εὐθὺς γὰρ ἐπὶ τὸν Σωτῆρα χωρεῖ ὁ Ἰάειρος, καὶ παρακαλεῖ φθάσαι τὸ δωμάτιον.

[00032] Προφθάνει δὲ τὸν καλοῦντα τῇ προθυμίᾳ ὁ Κύριος·

[00033] Ἐγερθεὶς γὰρ, ἠκολούθησεν αὐτῷ.

[00034] Ἀλλ'ὅρα, πιστὲ, οἵα παρὰ γυναικὸς δικαία καινοτομεῖται βία, οἵα σοφὴ οἰκονομεῖται κλοπὴ, οἵα παρὰ θήλεος ἐπινοεῖται ἀκίνδυνος ἁρπαγή·

[00035] δεῖ γὰρ αὐτῷ πρὸς τὴν κίνησιν ἐπειγομένῳ καὶ τὴν ὁδὸν ἐκείνην ἀνύειν συντόμως.

[00036] Γυνὴ, φησὶν, αἱμοῤῥοοῦσα δέκα δύο ἔτη, προσελθοῦσα ὄπισθεν ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ·

[00037] ἔλεγε γὰρ ἐν ἑαυτῇ, ὅτι Ἐὰν μόνον ἅψωμαι, σωθήσομαι.

[00038] Οὗτος γὰρ, φησὶν, ὁ ἰατρὸς ἐξ οὐρανοῦ παραγέγονεν·

[00039] οὐκ ἐπιτάττει φαρμάκων πολυδαπάνων ὕλην, οὐ κατατέμνει σιδήρῳ, οὐκ ἐπάγει τὰς ὀδύνας·

[00040] οἶδε τὰ τοῦ θήλεος·

[00041] ἐκ παρθένου γὰρ μητρὸς ὡς ἠθέλησεν ἐπεδήμησεν·

[00042] οὐ μολύνεται τὰ λανθάνοντα διερευνώμενος πάθη·

[00043] αὐτός ἐστι τῶν

[00044] Επιτρέπετα

[00045] κρυφίων ἐπόπτης.

[00046] Γυνή εἰμι, καὶ περιφέρω πάθος αἰσχρὸν καὶ κρυπτόν·

[00047] ἔχω γὰρ αἱμάτων ἀκένωτα ῥεῖθρα, καὶ κρήνας ἀνελλιπεῖς ὀχετῶν ἀκαθάρτων.

[00048] Χρήζω τοίνυν πηγῆς, ἥτις ἐστὶν αὐτὸς, ἵνα μου λάθρα καθαρίσῃ τὴν ἀσχήμονα ῥύσιν·

[00049] νόμος γὰρ τὴν τοιαύτην οὐ προσίεται νόσον.

[00050] Ὄχλος με τὴν ἀθλίαν ὡς μυσαρὰν ἀπωθεῖται·

[00051] ἀλλ' ὁ παρὼν ἰατρὸς, τῆς φύσεως ὢν δημιουργὸς, ὃς ἀνέπλασεν ἐκ πλευρᾶς, ἀπαλλάξαι φθορᾶς οὐκ ἂν παραιτήσηται·

[00052] λόγῳ γὰρ μόνῳ κελεύει, καὶ τὸ πάθος οὐ μένει·

[00053] ταράττεται τῷ Πνεύματι, καὶ τὸν ᾅδην τοὺς νεκροὺς ἀναπράττει·

[00054] ἐξ ὀλίγων ἄρτων ἐμπιπλᾷ χιλιάδας, νίπτεται δάκρυσι καὶ πηγάζει τὴν ἄφεσιν.

[00055] Ἀλλ' οὐδεὶς τοῦτο θαῤῥεῖ, εἰ μὴ μόνη πίστις ἀδίστακτος·

[00056] ταύτην οὖν παραλαβοῦσα χειραγωγὸν κατὰ ψυχὴν πρόσειμι λαθοῦσα, καὶ σιγῇ ληστεύω τὴν θεραπείαν ἀφῇ·

[00057] κἂν μὲν λάθω, κέρδος τὸ πᾶν, οἶδα γὰρ ὅτι σωθήσομαι·

[00058] εἰ δὲ μὴ λαθοῦσα εἰς μέσον κληθείην, οὐκ ἂν ἐγκληθείην διὰ θεραπείαν τολμήσασα, οὐδὲ ἀναπραχθήσομαι ἅπερ ἡ πίστις ἐσύλησεν·

[00059] ἀμεταμέλητα γὰρ ὡς Θεοῦ ὑπάρχει πάντα τὰ ταύτης χαρίσματα·

[00060] ὁ γὰρ εἰπὼν τῇ θαλάσσῃ.

[00061] Σιώπα, πεφίμωσο, καὶ τὴν ἐμὴν ἀφανῆ ἀναστομώσει πηγήν.

[00062] Δεῦρο τοίνυν, ἡ πίστις, τὸ μέλλον κυβέρνησον, καὶ τῷ κύματι τῶν ὄχλων συντόμως διάκοψον, ἵνα μου τὸ σαθρὸν σκάφος τοῦ σώματος εἰς τὸν γαληνὸν ἐκεῖνον προσορμίσω λιμένα·

[00063] δύναται γὰρ ἡ ῥανὶς τῆς αὐτοῦ βοηθείας τὸν ἐν ἐμοὶ τῶν αἱμάτων ἀκαμάτως ἀποπνίξαι βυθόν·

[00064] οὕτω δὲ ταῦτα βουλευσαμένη καλῶς τοῖς ἀτολμήτοις ἐπιτολμᾷ, καὶ οὔτε χρόνον δέδιεν, οὐ πενίαν λογίζεται, οὐ πλῆθος ἀριθμεῖ·

[00065] πάντα δὲ ταῦτα διὰ τῆς πίστεως, μᾶλλον δὲ μετὰ τῆς πίστεως ὑπερπηδήσασα, λάθρα τοῦ Δεσποτικοῦ χιτῶνος ἁψαμένη, τῆς ἰάσεως τὸ κέρδος εὐκαίρως ἐσύλησε, τὴν πρὸς αὐτὸν ἕνωσιν ἀπαλλαγὴν εἶναι τοῦ πάθους πιστεύσασα·

[00066] ὄντως ἀπαλλαγήν·

[00067] ἰάθη γὰρ Εὐθέως ἀπὸ τῆς μάστιγος.

[00068] Δώδεκα γὰρ ἔτη τῇ [64.20] νόσῳ πυκτεύουσα καθ' ἡμέραν καὶ κατ' ἔτος, τὴν ζωὴν ὑπέκλεπτε, σφαττομένη πάντοτε, καὶ τέως μὴ θνήσκουσα·

[00069] πρῶτος γὰρ ἐνιαυτὸς, καί τινων ὀδυνῶν καὶ πόνων εἰς αἴσθησιν ἤρχετο·

[00070] δεύτερον ἔτος ἦν, καὶ πόλεως τῆς ἀφανοῦς ταύτης ἐθορύβει τὰ κρύφια·

[00071] τρίτος παρῆν ἐνιαυτὸς, καὶ τῇ τῶν νεύρων καὶ φλεβῶν ὀγκώσει συνείχετο·

[00072] τέταρτον ὑπῆρχεν ἔτος, καὶ πηγή τις ἐξ αὐτῆς αἱμάτων προήρχετο·

[00073] πέμπτος ἐνιαυτὸς, καὶ πανταχόθεν ἰατροὶ συνέτρεχον, μέλη παραγυμνοῦντες ἃ μὴ θέμις ὁρᾶσθαι τοῖς ἄῤῥεσιν·

[00074] ἕκτον ἔτος ἠνύετο, καὶ εἰς πλέον τὸ δεινὸν ἐπετείνετο·

[00075] ἕβδομος ἐνιαυτὸς, καὶ πλούτου τοσούτου κενουμένου ἡ τῶν αἱμάτων φθορὰ ἀνεξάντλητος ἔμενεν·

[00076] ὄγδοον ἔτος ἐπέστη, καὶ τὴν ἧτταν ὡμολόγουν οἱ ἰατρεύοντες·

[00077] ἔννατος ἦν ἐνιαυτὸς, καὶ ταύτην παντελῶς ἀπεγνωσμένην καταλείποντες ἀπήεσαν·

[00078] δέκατον ἔτος ἤγγισεν, καὶ ἦν ἡ γυνὴ οὐσίας καὶ ὑγείας καθάπαξ ἀπερίστατος·

[00079] ἑνδέκατος ἐνιαυτὸς, καὶ βοηθὸς οὐδεὶς τῇ κατωδύνῳ παρίστατο·

[00080] δωδέκατον ἔτος ἠριθμεῖτο, καὶ παρῆν ὁ τῶν ψυχῶν ἰατρὸς ἐν τῇ ἐσχάτῃ ὥρᾳ, ἁφῇ καὶ λόγῳ καὶ πίστει τὰς νόσους ἰώμενος.

[00081] Τούτῳ συντυχοῦσα, καὶ τὸ μέλλον πιστεύσασα, ἔλαβεν ὅπερ ἤθελεν·

[00082] ἀλλ' ἔτρεμεν εἰδυῖα ὅτιπερ οὐκ ἔλαθεν.

[00083] Τί γάρ φησιν ὁ Σωτήρ;

[00084] Τίς ὁ ἁψάμενός μου;

[00085] ἐγὼ γὰρ ἔγνων δύναμιν ἐξελθοῦσαν ἀπ' ἐμοῦ.

[00086] Οὐκ εἶπε, Τίς ἡ ἁψαμένη μου;

[00087] ἵνα μή πως οἱ παρόντες εἰς ἀμφίβολον ζήτησιν γυναίου ἑαυτοὺς ἀπασχολήσωσιν·

[00088] ἀλλ' εἶπε, Τίς ὁ ἁψάμενός μου, ἐν μετεώρῳ καταλείπων τὴν φωνὴν, ἵνα ἕκαστος ἀκούων, ἀνδρὸς εἶναι νομίσῃ τὴν τοιαύτην ἐπιχείρησιν·

[00089] Τίς ὁ ἁψάμενός μου;

[00090] ἐγὼ γὰρ δύναμιν ἔγνων ἐξελθοῦσαν ἀπ' ἐμοῦ.

[00091] Τί λέγεις, ὦ Δέσποτα;

[00092] εἰς τὸ συλᾶσθαι τὰ σὰ παραγέγονας;

[00093] εἰς ἁρπαγὴν θέλων τοῖς πιστοῖς τὴν βασιλείαν προέθηκας;

[00094] καὶ πῶς ἐρωτᾷς ὃ οἶδας, καὶ ζητεῖς ὃ οὐκ ἀγνοεῖς;

[00095] Εἰ μὴ θέλων ἐκλάπης τὴν ἐξελθοῦσαν δύναμιν, ὤφειλες ἐπισχεῖν·

[00096] εἰ δὲ βουληθεὶς ἐσυλήθης, τί δυσχεραίνεις διδοὺς ἅπερ ἡ πίστις παρὰ σοῦ λαμβάνειν βιάζεται;

[00097] Επιτρέπετα

[00098] Ἐχαρίσω μὴ αἰτηθεὶς, καὶ μετὰ τὸ δοῦναι ἐγκαλεῖς;

[00099] ἀοράτως ἐθεράπευσας, καὶ μετὰ τὴν ἴασιν δικαστήριον συγκροτεῖς;

[00100] Ναὶ, φησίν·

[00101] οἶδα τήν με συλήσασαν, οὐκ ἀγνοῶ τὴν εὐδοκίμως ληστεύσασαν, βούλομαι δὲ ταύτην εἰς μέσον ἐλθεῖν, ἵνα γένηται κήρυξ ἧς ἐπέτυχε χάριτος.

[00102] Παρ' αὐτῆς γὰρ οὕτως ἡδέως συληθεὶς, τὴν αὐτῆς δωρεὰν ἐπὶ πάντων κυρῶσαι προῄρημαι·

[00103] Θάρσει, θύγατερ, ἡ πίστις σου σέσωκέ σε.

[00104] Ἔχε, φησὶν, ὅπερ ἔκλεψας εὐφυῶς·

[00105] κράτει, γύναι, ὅπερ ἥρπασας ἀφανῶς·

[00106] κτῆσαι κτῆσιν γνησίαν, ἥν σοι παρέσχεν ἡ πίστις·

[00107] ἀντὶ γὰρ δούλης θυγάτηρ, ἀντὶ μεμιαμμένης ἠλειμμένη σήμερον ὠνομάσθης·

[00108] Ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου.

[00109] Ὁρᾷς, ἀγαπητὲ, πόσα δύναται πίστις, πῶς ἐν μιᾷ ῥοπῇ θαύματα ἤνυσεν;

[00110] σιωπῇ τὴν τρέμουσαν παραθαρσύνουσα, τὸν ἰατρὸν ἐκδυσωπήσασα.

[00111] Οὕτως ἡ ἐξ ἐθνῶν Ἐκκλησία, τὴν αἱμόῤῥουν ζηλώσασα, καὶ πίστει τῷ Δεσπότῃ σιωπῇ προσπελάσασα, τὴν μυσαρὰν τῶν νομικῶν αἱμάτων ἀνεστόμωσε πηγὴν, καὶ θυγάτηρ κληθεῖσα πολλῶν ὑπάρχει μήτηρ, μάρτυρα κεκτημένη τὸν πάλαι βοήσαντα·

[00112] Ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα·

[00113] λέγω δὴ τῆς συναγωγῆς, ἧς ἀνὴρ ὁ νόμος, ἀρχισυνάγωγος, Δεσπότην σήμερον εἰς τὴν ἔγερσιν καλῶν τῆς τελευτησάσης παιδός.

[00114] Ἀλλὰ τῆς ὥρας ὠθούσης τοῦ κατ' αὐτὴν θαύματος χρεώστην ἐπαγγέλλομαι, τὸν πλουτοδότην Κύριον προσκαθιστῶν ὑμῖν ἔγγυον·

[00115] ᾧ ἡ δόξα πρέπει εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00116] Ἀμήν.

[00117] ἀὰὰ

[00118] Επιτρέπετα

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - In sanguinis fluxu laborantem**
**Litterarum Omnium Conspectus: 122 Litterae, quae repetitae sunt in 6,624 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 507 | Α | 0913 | 0 |
| β | 0946 | 31 | Β | 0914 | 0 |
| γ | 0947 | 133 | Γ | 0915 | 2 |
| δ | 0948 | 114 | Δ | 0916 | 0 |
| ε | 0949 | 344 | Ε | 0917 | 8 |
| ζ | 0950 | 13 | Ζ | 0918 | 0 |
| η | 0951 | 111 | Η | 0919 | 0 |
| θ | 0952 | 111 | Θ | 0920 | 5 |
| ι | 0953 | 254 | Ι | 0921 | 1 |
| κ | 0954 | 188 | Κ | 0922 | 3 |

| | | | | | |
|---|---|---|---|---|---|
| λ | 0955 | 186 | Λ | 0923 | 5 |
| μ | 0956 | 194 | Μ | 0924 | 2 |
| ν | 0957 | 519 | Ν | 0925 | 2 |
| ξ | 0958 | 21 | Ξ | 0926 | 0 |
| ο | 0959 | 390 | Ο | 0927 | 3 |
| π | 0960 | 238 | Π | 0928 | 6 |
| ρ | 0961 | 262 | Ρ | 0929 | 0 |
| ς | 0962 | 298 | • | 0930 | 0 |
| σ | 0963 | 264 | Σ | 0931 | 3 |
| τ | 0964 | 511 | Τ | 0932 | 12 |
| υ | 0965 | 114 | Υ | 0933 | 0 |
| φ | 0966 | 42 | Φ | 0934 | 0 |
| χ | 0967 | 60 | Χ | 0935 | 4 |
| ψ | 0968 | 13 | Ψ | 0936 | 0 |
| ω | 0969 | 102 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 6 | | | 0 |
| ῥ | 8165 | 11 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 97 | έ | 8051 | 96 | ή | 8053 | 41 | ί | 8055 | 95 | ό | 8057 | 52 | ύ | 8059 | 67 | ώ | 8061 | 15 |
| ὰ | 8048 | 75 | ὲ | 8050 | 21 | ὴ | 80852 | 61 | ὶ | 8054 | 74 | ὸ | 8056 | 71 | ὺ | 8058 | 12 | ὼ | 8060 | 5 |
| ᾶ | 8118 | 11 | | | 0 | ῆ | 8134 | 36 | ῖ | 8150 | 43 | | | 0 | ῦ | 8166 | 50 | ῶ | 8182 | 36 |
| ἀ | 7936 | 68 | ἐ | 7952 | 86 | ἠ | 7968 | 7 | ἰ | 7984 | 43 | ὀ | 8000 | 5 | ὐ | 8016 | 54 | ὠ | 8032 | 2 |
| ἁ | 7937 | 8 | ἑ | 7953 | 6 | ἡ | 7969 | 16 | ἱ | 7985 | 11 | ὁ | 8001 | 21 | ὑ | 8017 | 11 | ὡ | 8033 | 13 |
| ἂ | 7938 | 3 | ἒ | 7954 | 0 | ἢ | 7970 | 1 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 1 |
| ἃ | 7939 | 1 | ἓ | 7955 | 0 | ἣ | 7971 | 1 | ἳ | 7987 | 0 | ὃ | 8003 | 3 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 6 | ἔ | 7956 | 28 | ἤ | 7972 | 4 | ἴ | 7988 | 3 | ὄ | 8004 | 10 | ὔ | 8020 | 1 | ὤ | 8036 | 1 |
| ἅ | 7941 | 4 | ἕ | 7957 | 4 | ἥ | 7973 | 4 | ἵ | 7989 | 8 | ὅ | 8005 | 8 | ὕ | 8021 | 5 | ὥ | 8037 | 2 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 4 | ἶ | 7990 | 10 | | | 0 | ὖ | 8022 | 3 | ὦ | 8038 | 1 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 3 | ἷ | 7991 | 0 | | | 0 | ὗ | 8023 | 1 | ὧ | 8039 | 0 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 1 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 1 |
| ᾳ | 8115 | 3 | | | 0 | ῃ | 8131 | 13 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 15 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 4 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 6 | | | 0 | ῇ | 8135 | 15 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 12 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - In sanguinis fluxu laborantem**

**Verborum Omnium Conspectus: 763Verba, quae repetita sunt in 3,607,988 occasionibus**

---

ἃ [00073]
ἀὰὰ [00117]
ἀγαπητὲ [00013] [00109]
ἀγνοεῖς [00094]
ἀγνοῶ [00101]
ἀγροῖς [00013]
ᾄδην [00053]
ἀδίστακτος [00055]
ἀθετεῖ [00008]
ἀθλίαν [00050]
ἀθρόον [00023]
αἱμάτων [00047] [00063] [00072] [00075] [00111]
αἱμοῤῥοοῦσα [00036]
αἱμοῤῥοοῦσαν [00003]
αἱμόῤῥουν [00111]
αἴσθησιν [00069]
αἰσχρὸν [00046]
αἰτηθεὶς [00098]
αἰῶνας [00115]
αἰώνων [00115]
ἀκαθάρτων [00047]
ἀκαμάτως [00018] [00063]
ἀκένωτα [00047]
ἀκίνδυνος [00034]
ἀκούων [00088]
ἀλλ [00010] [00028] [00051] [00082] [00088]
Ἀλλ [00028] [00030] [00034] [00055]
Ἀλλὰ [00114]
ἄλλας [00004]
Ἄλλοις [00004]
ἀμεταμέλητα [00059]
Ἀμήν [00116]
ἀμισθὶ [00012]
ἀμνημονήσῃς [00014]
ἀμφίβολον [00087]
ἂν [00051] [00058]
ἀναβαίνει [00017]
ἀναβαίνοντα [00013]
ἀναγκαῖος [00027]
ἀναπράττει [00053]
ἀναπραχθήσομαι [00058]
ἀναστομώσει [00061]
ἄνδρα [00112]
ἀνδρὸς [00088]
ἀνελλιπεῖς [00047]
ἀνεξάντλητος [00075]
ἀνέπλασεν [00051]
ἀνεστόμωσε [00111]
ἀνὴρ [00113]
ἀνθρώπινα [00014]
ἀνοίγει [00019]
ἀντὶ [00022] [00107] [00107]
ἀνύειν [00035]
ἄνω [00013]
ἀοράτως [00099]
ἀπ [00085] [00090]
ἀπαλλαγὴν [00065]
ἀπαλλαγήν [00066]
ἀπαλλάξαι [00051]
ἀπασχολήσωσιν [00087]
ἀπεγνωσμένην [00077]
ἀπένειμεν [00005]
ἅπερ [00058] [00096]
ἀπερίστατος [00078]
ἀπήεσαν [00077]
ἀποπνίξαι [00063]

**ἀπωθεῖται** [00050]
**ἀριθμεῖ** [00064]
**ἅρπαγας** [00008]
**ἁρπαγή** [00034]
**ἁρπαγὴν** [00093]
**ἄῤῥεσιν** [00073]
**ἀῤῥώστους** [00012]
**ἀρτίως** [00025]
**ἄρτων** [00054]
**ἀρχισυνάγωγος** [00026] [00113]
**ἀσχήμονα** [00048]
**ἀτολμήτοις** [00064]
**αὐτὴ** [00011]
**αὐτῇ** [00029] [00029]
**αὐτὴν** [00114]
**αὐτῆς** [00072] [00102] [00102]
**αὐτὸ** [00006]
**αὐτὸν** [00065]
**αὐτὸς** [00048]
**αὐτός** [00043]
**αὐτοῦ** [00003] [00036] [00063]
**αὐτῷ** [00033] [00035]
**ἀφανῆ** [00061]
**ἀφανοῦς** [00070]
**ἀφανῶς** [00105]
**ἄφεσιν** [00054]
**ἀφῇ** [00056]
**ἁφῇ** [00080]
**ἁψαμένη** [00065] [00086]
**ἁψάμενός** [00084] [00088] [00089]
**ἅψωμαι** [00037]

**βάδισμα** [00022]
**βασιλείαν** [00093]
**βασιλεῖς** [00010]
**βία** [00034]
**βιάζεται** [00096]
**βίου** [00004]
**βοηθείας** [00063]
**βοηθὸς** [00079]
**βοήσαντα** [00111]
**βούλεται** [00006]
**βουλευσαμένη** [00064]
**βουληθεὶς** [00096]
**βούλομαι** [00101]
**βυθόν** [00063]

**γαληνὸν** [00062]
**γὰρ** [00007] [00009] [00015] [00025] [00029] [00031] [00033] [00035] [00037] [00038] [00041] [00047] [00049] [00052] [00057] [00059] [00060] [00063] [00067] [00068] [00069] [00085] [00090] [00102] [00107]
**γάρ** [00026] [00083]
**γέγονεν** [00014]
**γεγραμμένον** [00005]
**γείτονα** [00029]
**γενέτη** [00027]
**γένηται** [00101]
**γνησίαν** [00106]
**γύναι** [00105]
**γυναικὸς** [00034]
**γυναίου** [00087]
**Γυνὴ** [00036]
**Γυνή** [00046]
**γυνὴ** [00078]

**δάκρυσι** [00054]
**δακτύλῳ** [00019]
**δὲ** [00005] [00006] [00011] [00022] [00026] [00029] [00032] [00058] [00064] [00065] [00065] [00096] [00101]
**δέδιεν** [00064]
**δέδωκε** [00027]
**δεῖ** [00035]
**δεινὸν** [00074]
**δέκα** [00036]
**δέκατον** [00078]
**Δέσποτα** [00091]
**Δεσπότη** [00111]
**Δεσπότην** [00113]
**Δεσποτικοῦ** [00065]
**Δεῦρο** [00062]
**δεύτερον** [00070]
**δὴ** [00113]
**δημιουργὸς** [00051]
**δι** [00018]
**διὰ** [00005] [00009] [00014] [00058] [00065]
**διαδοχὴν** [00028]
**διαιροῦν** [00006]
**διαιρῶν** [00004]
**διάκοψον** [00062]
**διαπλέοντα** [00013]
**διδοὺς** [00096]
**διερευνώμενος** [00042]
**δικαία** [00034]
**δικαστήριον** [00099]
**δοκοῦσαν** [00004]
**δόξα** [00115]
**δούλης** [00107]
**δοῦναι** [00098]
**δύναμιν** [00085] [00090] [00095]
**δυνάσται** [00011]
**δύναται** [00063] [00109]
**δύο** [00036]
**δυσχεραίνεις** [00096]
**Δώδεκα** [00068]
**δωδέκατον** [00080]
**δωμάτιον** [00023] [00031]
**δωρεὰν** [00102]
**δωρουμένη** [00012]

**Ε** [00002]
**Ἐὰν** [00037]

**ἑαυτῇ** [00037]
**ἑαυτοὺς** [00087]
**ἕβδομος** [00075]
**ἔγγυον** [00114]
**Ἔγειρε** [00021]
**ἐγένετο** [00015]
**Ἐγερθεὶς** [00033]
**ἔγερσιν** [00113]
**ἐγίνετο** [00022]
**ἐγκαλεῖς** [00098]
**ἐγκληθείην** [00058]
**ἔγνων** [00085] [00090]
**ἐγὼ** [00085] [00090]
**ἐθεράπευσας** [00099]
**ἐθνῶν** [00111]
**ἐθορύβει** [00070]
**ἔθος** [00027]
**Εἰ** [00095]
**εἰ** [00055] [00058] [00096]
**εἰδυῖα** [00082]
**εἰμι** [00046]
**εἶναι** [00004] [00065] [00088]
**Εἶπε** [00020]
**εἶπε** [00086] [00088]
**εἰπὼν** [00060]
**εἰς** [00003] [00013] [00017] [00023] [00027] [00028] [00028] [00058] [00062] [00069] [00074] [00087] [00092] [00093] [00101] [00113] [00115]
**εἰσηγήσατο** [00025]
**εἰσφέρων** [00025]
**ἐκ** [00003] [00041] [00051]
**ἕκαστος** [00088]
**ἑκάστῳ** [00004] [00006]
**ἐκδυσωπήσασα** [00110]
**ἐκείνην** [00035]
**ἐκεῖνον** [00062]
**Ἐκκλησία** [00111]
**ἐκλάμπει** [00024]
**ἐκλάπης** [00095]
**ἔκλεψας** [00104]
**ἕκτον** [00074]
**ἔλαβεν** [00081]
**ἔλαθεν** [00082]
**ἐλάμβανεν** [00022]
**ἐλάνθανεν** [00028]
**ἔλεγε** [00037]
**ἐλθεῖν** [00101]
**ἐλπίδος** [00029]
**ἐμὰ** [00018]
**ἐμὲ** [00018]
**ἔμενεν** [00075]
**ἐμέρισε** [00004]
**ἐμὴν** [00061]
**ἐμοὶ** [00063]
**ἐμοῦ** [00085] [00090]
**ἐμπιπλᾷ** [00054]
**ἐμπορίαν** [00005]
**ἐμπορίας** [00004]
**ἐν** [00018] [00037] [00063] [00080] [00088] [00109]
**ἑνδέκατος** [00079]
**ἐνιαυτὸς** [00069] [00071] [00073] [00075] [00077] [00079]
**ἐνίκησε** [00030]
**ἔννατος** [00077]
**ἕνωσιν** [00065]
**ἐξ** [00013] [00018] [00038] [00054] [00072] [00111]
**ἐξέκοψεν** [00029]
**ἐξελθοῦσαν** [00085] [00090] [00095]
**ἔοικεν** [00028]
**ἐπ** [00029]
**ἐπαγγέλλομαι** [00114]
**ἐπάγει** [00039]
**ἐπάνω** [00017]
**ἐπεδήμησεν** [00041]
**ἐπειγομένῳ** [00035]
**ἐπελθὸν** [00029]
**ἐπέστη** [00076]
**ἐπετείνετο** [00074]
**ἐπέτυχε** [00101]
**ἐπὶ** [00031] [00102]
**ἐπιδημοῦντα** [00013]
**ἐπιθυμοῦσιν** [00010]
**ἐπιλάθῃ** [00014]
**ἐπιμελούμενος** [00028]
**ἐπινοεῖται** [00034]
**ἐπισχεῖν** [00095]
**ἐπιτάττει** [00039]
**ἐπιτολμᾷ** [00064]
**Επιτρέπετα** [00044] [00097] [00118]
**ἐπιχείρησιν** [00088]
**ἐπόπτης** [00045]
**ἐργάζεται** [00018]
**ἐρήμου** [00112]
**ἔρχεται** [00012]
**ἐρωτᾷς** [00094]
**ἐστι** [00043]
**ἐστὶν** [00048]
**ἐσυλήθης** [00096]
**ἐσύλησε** [00065]
**ἐσύλησεν** [00058]
**ἐσχάτῃ** [00080]
**ἔτη** [00036] [00068]
**ἑτοίμως** [00009]
**ἔτος** [00068] [00070] [00072] [00074] [00076] [00078] [00080]
**ἔτρεμεν** [00082]
**Εὐαγγελίου** [00003]
**εὐαγγελιστὴς** [00025]
**εὐδοκίμως** [00101]
**Εὐθέως** [00067]
**εὐθὺς** [00031]
**εὐκαίρως** [00065]
**εὐλαβεῖται** [00008]
**εὐτελεῖς** [00011]
**εὐφυῶς** [00104]
**ἔφθασε** [00023]
**Ἐχαρίσω** [00098]
**Ἔχε** [00104]
**ἔχει** [00009]
**ἔχειν** [00010]

**ἐχούσης** [00112]
**ἔχουσιν** [00007]
**ἔχω** [00047]

**ζηλώσασα** [00111]
**ζητεῖ** [00008]
**ζητεῖς** [00094]
**ζήτησιν** [00087]
**ζητοῦσι** [00011]
**ζωὴν** [00068]

**ἡ** [00027] [00058] [00062] [00063] [00075] [00078] [00086] [00096] [00103] [00106] [00111] [00115]
**ἣ** [00112]
**Ἡ** [00015]
**ἤγγισεν** [00078]
**ἡδέως** [00102]
**ἤθελεν** [00081]
**ἠθέλησεν** [00014] [00041]
**ἠκολούθησεν** [00033]
**ἠλειμμένη** [00107]
**ἡμέραν** [00068]
**ἡμῖν** [00005] [00025]
**ἧν** [00027]
**ἥν** [00106]
**ἦν** [00020] [00070] [00077] [00078]
**Ἦν** [00026]
**ἠνύετο** [00074]
**ἤνυσεν** [00109]
**ἠριθμεῖτο** [00080]
**ἥρπασας** [00105]
**ἤρχετο** [00069]
**ἧς** [00101] [00113]
**ἠσχόλητο** [00027]
**ἥτις** [00048]
**ἧτταν** [00076]
**ἥψατο** [00036]

**θάλασσαν** [00013]
**θαλάσσῃ** [00060]
**θανάτου** [00029]
**θαῤῥεῖ** [00055]
**Θάρσει** [00103]
**θᾶττον** [00022]
**θαύματα** [00109]
**θαύματος** [00114]
**θεῖα** [00014]
**Θέλω** [00020]
**θέλων** [00093] [00095]
**θέμις** [00073]
**Θεὸν** [00009]
**Θεὸς** [00005]
**Θεοῦ** [00059]
**θεραπείαν** [00056] [00058]
**θεραπευτὴς** [00026]
**θήλεος** [00034] [00040]
**θνήσκουσα** [00068]
**θύγατερ** [00103]
**θυγατέρα** [00027]
**θυγάτηρ** [00107] [00111]
**θυρίδας** [00019]

**Ἰάειρος** [00026] [00031]
**Ἰαείρου** [00023]
**ἰάθη** [00067]
**ἰάσεις** [00012]
**ἰάσεως** [00065]
**ἴασιν** [00099]
**ἰατρεύοντες** [00076]
**ἰατροὶ** [00073]
**ἰατρὸν** [00110]
**ἰατρὸς** [00038] [00051] [00080]
**ἴδῃς** [00013]
**ἰδίᾳ** [00006]
**ἰδιῶται** [00010]
**Ἰδοὺ** [00024]
**ἱματίου** [00036]
**ἵνα** [00048] [00062] [00087] [00088] [00101]
**Ἴσθι** [00108]
**ἰώμενος** [00080]
**In** [00001]

**καθ** [00068]
**καθάπαξ** [00078]
**καθαρίσῃ** [00048]
**καθαρίσθητι** [00020]
**καθέδρας** [00014]
**καθέζεται** [00017]
**καθὼς** [00006]
**καινοτομεῖται** [00034]
**καινουργῶν** [00019]
**καλοῦντα** [00032]
**καλῶν** [00113]
**καλῶς** [00064]
**κἂν** [00057]
**Κανᾷ** [00018]
**κατ** [00068] [00114]
**καταλείποντες** [00077]
**καταλείπων** [00088]
**κατατέμνει** [00039]
**κατέκλυσε** [00024]
**κατερχόμενον** [00013]
**κατορθοῦσαν** [00005]
**κάτω** [00013]
**κατωδύνῳ** [00079]
**κεκτημένη** [00111]
**κέκτηνται** [00010]
**κελεύει** [00052]

**κενουμένου** [00075]
**κέρδη** [00025]
**κέρδος** [00057] [00065]
**κήρυξ** [00101]
**κίνησιν** [00035]
**κλέπτας** [00008]
**κληθείην** [00058]
**κληθεῖσα** [00111]
**κλῆσιν** [00026]
**κλοπὴ** [00034]
**κράσπεδον** [00024]
**κρασπέδου** [00036]
**κράτει** [00105]
**κρήνας** [00047]
**κρυπτόν** [00046]
**κρύφια** [00070]
**κρυφίων** [00045]
**κτῆσαι** [00106]
**κτησάμενον** [00008]
**κτῆσιν** [00106]
**κυβέρνησον** [00062]
**κύματι** [00062]
**Κύριον** [00114]
**Κύριος** [00032]
**κυρῶσαι** [00102]
**κώμαις** [00013]

**λαθοῦσα** [00056] [00058]
**λάθρα** [00048] [00065]
**λάθω** [00057]
**λαμβάνειν** [00096]
**λαμβάνοντα** [00008]
**λανθάνοντα** [00042]
**λαοῦ** [00026]
**λέγει** [00021]
**λέγεις** [00091]
**λέγω** [00113]
**λεπρῷ** [00020]
**λήθη** [00014]
**ληστεύσασαν** [00101]
**ληστεύω** [00056]
**λιμένα** [00062]
**λίμνην** [00013]
**λογίζεται** [00064]
**Λόγος** [00014] [00015] [00017] [00018]
**λόγος** [00016] [00022]
**λόγῳ** [00052] [00080]
**Λουκᾶν** [00003]

**μᾶλλον** [00065] [00112]
**μάρτυρα** [00111]
**μάστιγός** [00108]
**μάστιγος** [00067]
**με** [00050] [00101]
**μέγιστα** [00005]
**μέλη** [00073]
**μέλλον** [00062] [00081]
**μεμιαμμένης** [00107]
**μέμνησο** [00013]
**μὲν** [00004] [00029] [00057]
**μένει** [00052]
**μέσον** [00058] [00101]
**μετεβάλλετο** [00023]
**μετεώρῳ** [00088]
**μήτηρ** [00111]
**μητρὸς** [00041]
**μιᾷ** [00109]
**μίαν** [00005] [00027]
**μολύνεται** [00042]
**Μόνη** [00007]
**μόνη** [00055]
**μονογενῆ** [00027]
**μόνον** [00037]
**μόνῳ** [00052]
**μου** [00048] [00062] [00084] [00086] [00088] [00089]
**μυσαρὰν** [00050] [00111]
**Μωϋσέως** [00026]

**Ναὶ** [00100]
**νεκροὺς** [00053]
**νεύρων** [00071]
**νίπτεται** [00054]
**νομικῶν** [00111]
**νομίσῃ** [00088]
**νόμος** [00049] [00113]
**νόμων** [00026]
**Νόσημα** [00029]
**νόσον** [00049]
**νόσους** [00080]
**νόσῳ** [00068]

**ὁ** [00004] [00005] [00014] [00015] [00022] [00022] [00025] [00031] [00032] [00038] [00051] [00060] [00080] [00083] [00084] [00088] [00089] [00113]
**ὃ** [00094] [00094]
**ὄγδοον** [00076]
**ὀγκώσει** [00071]
**ὁδὸν** [00035]
**ὀδύνας** [00039]
**ὀδυνῶν** [00069]
**οἱ** [00076] [00087]
**οἷα** [00034] [00034] [00034]
**οἶδα** [00057] [00101]
**οἶδας** [00094]
**οἶδε** [00040]
**οἰκονομεῖται** [00034]
**ὀλίγων** [00054]
**ὄμβρῳ** [00024]
**ὄντως** [00066]
**ὅπερ** [00081] [00104] [00105]

**ὄπισθεν** [00036]
**ὅρα** [00034]
**Ὁρᾷς** [00109]
**ὁράσεις** [00019]
**ὁρᾶσθαι** [00073]
**ὄρος** [00013] [00017]
**ὄρους** [00013]
**ὃς** [00051]
**Ὅταν** [00013]
**ὅτι** [00014] [00037] [00057]
**Ὅτι** [00112]
**ὅτιπερ** [00082]
**οὐ** [00008] [00008] [00008] [00039] [00042] [00049] [00052] [00064] [00064]
**οὐδὲ** [00058]
**οὐδεὶς** [00055] [00079]
**Οὐκ** [00086]
**οὐκ** [00008] [00008] [00020] [00028] [00030] [00039] [00039] [00051] [00058] [00082] [00094] [00101]
**οὖν** [00013] [00056]
**οὐρανὸν** [00014]
**οὐρανοῦ** [00038]
**οὖσαν** [00005]
**οὐσίας** [00078]
**οὔτε** [00064]
**Οὗτος** [00038]
**οὕτω** [00064]
**Οὕτως** [00111]
**οὕτως** [00102]
**οὐχ** [00008]
**ὀχετῶν** [00047]
**ὄχλος** [00027]
**Ὄχλος** [00050]
**ὄχλῳ** [00024]
**ὄχλων** [00062]

**πάθη** [00042]
**πάθος** [00020] [00030] [00046] [00052]
**πάθους** [00065]
**παιδευτὴς** [00026]
**παιδός** [00113]
**πάλαι** [00111]
**πάλιν** [00013]
**πᾶν** [00057]
**πάντα** [00009] [00059] [00065]
**πανταχόθεν** [00073]
**παντελῶς** [00077]
**πάντοτε** [00068]
**πάντων** [00102]
**Παρ** [00102]
**παρὰ** [00034] [00034] [00096]
**παραγέγονας** [00092]
**παραγέγονεν** [00038]
**παραγυμνοῦντες** [00073]
**παραδῷς** [00014]
**παραθαρσύνουσα** [00110]
**παραιτήσηται** [00051]
**παρακαλεῖ** [00031]
**παρακρατοῦσα** [00012]
**παραλαβοῦσα** [00056]
**παραλυτικῷ** [00021]
**παραμένει** [00007]
**παραστήσας** [00018]
**παραχωρεῖ** [00016]
**παρέλθῃς** [00014]
**παρέσχεν** [00106]
**παρέχοντα** [00009]
**παρῆν** [00071] [00080]
**παρθένου** [00041]
**παρίστατο** [00079]
**παρόντες** [00087]
**παρὼν** [00051]
**πᾶσι** [00009]
**πάσχων** [00022]
**πατέρα** [00029]
**Πατρὸς** [00018]
**πέμπτος** [00073]
**πένθος** [00023]
**πενίαν** [00064]
**περιπατεῖ** [00016]
**περιπτύσσεται** [00011]
**περισφιγγόμενος** [00024]
**περιφέρω** [00046]
**περῶντα** [00013]
**πεφίμωσο** [00061]
**πηγάζει** [00054]
**πηγή** [00072]
**πηγὴν** [00111]
**πηγήν** [00061]
**πηγῆς** [00048]
**πηλῷ** [00019]
**πιστὲ** [00034]
**πίστει** [00080] [00111]
**πιστεύσασα** [00065] [00081]
**πίστεως** [00005] [00024] [00025] [00065] [00065]
**πίστιν** [00030]
**πίστις** [00007] [00055] [00058] [00062] [00096] [00103] [00106] [00109]
**πιστοῖς** [00093]
**πλέον** [00074]
**πλευρᾶς** [00051]
**πλῆθος** [00064]
**πλουτοδότην** [00114]
**πλούτου** [00075]
**Πνεῦμα** [00006]
**Πνεύματι** [00053]
**Πνεύματος** [00005]
**ποδῶν** [00022]
**ποιεῖ** [00029]
**πόλεσι** [00013]
**πόλεως** [00070]
**πολλὰ** [00112]
**πολλαπλῆν** [00005]
**πολλῶν** [00111]
**πολυδαπάνων** [00039]
**πολύτροπα** [00025]
**πόνων** [00069]

**πορείας** [00013]
**πόσα** [00109]
**πρέπει** [00115]
**προέθηκας** [00093]
**προῄρημαι** [00102]
**προήρχετο** [00072]
**προθυμίᾳ** [00032]
**πρὸς** [00012] [00035] [00065]
**πρόσειμι** [00056]
**προσελθοῦσα** [00036]
**προσίεται** [00049]
**προσκαθιστῶν** [00114]
**προσορμίσω** [00062]
**προσπελάσασα** [00111]
**πρόσταγμα** [00022]
**προστρέχει** [00011]
**Προφθάνει** [00032]
**πρόωρον** [00028]
**πρῶτος** [00069]
**πυκτεύουσα** [00068]
**πῶς** [00094] [00109]
**πως** [00087]

**ῥανὶς** [00063]
**ῥεῖθρα** [00047]
**ῥοπῇ** [00109]
**ῥύσιν** [00024] [00048]

**σὰ** [00092]
**σαθρὸν** [00062]
**σὰρξ** [00014] [00015] [00016] [00017] [00018]
**σε** [00103]
**σέσωκέ** [00103]
**σήμερον** [00107] [00113]
**σιγῇ** [00056]
**σιδήρῳ** [00039]
**Σιώπα** [00061]
**σιωπῇ** [00110] [00111]
**σκάφος** [00062]
**σκοπὸς** [00004]
**σοι** [00106]
**σοῦ** [00096]
**σου** [00103] [00108]
**σοφὴ** [00034]
**συγκροτεῖς** [00099]
**συλᾶσθαι** [00092]
**συληθεὶς** [00102]
**συλήσασαν** [00101]
**συμφέρουσαν** [00004]
**συναγωγῆς** [00113]
**συνείχετο** [00071]
**συνέτρεχον** [00073]
**συντόμως** [00035] [00062]
**συντυχοῦσα** [00081]
**σφαττομένη** [00068]
**σφραγίδων** [00008]
**σωθήσομαι** [00037] [00057]
**σώματος** [00062]
**Σωτήρ** [00083]
**Σωτῆρα** [00031]

**τὰ** [00005] [00014] [00014] [00018] [00018] [00025] [00040] [00042] [00059] [00070] [00092] [00112]
**ταπεινοῖς** [00011]
**ταράττεται** [00053]
**τὰς** [00012] [00019] [00039] [00080]
**ταῦτα** [00064] [00065]
**Ταύτην** [00010]
**ταύτην** [00029] [00056] [00077] [00101]
**ταύτης** [00009] [00028] [00059] [00070]
**ταφὴν** [00028]
**τέκνα** [00112]
**τελευτησάσης** [00113]
**τέταρτον** [00072]
**τέως** [00068]
**τῇ** [00032] [00060] [00068] [00071] [00079] [00080]
**τήμερον** [00024]
**τὴν** [00003] [00004] [00005] [00020] [00024] [00026] [00030] [00035] [00035] [00048] [00049] [00050] [00054] [00056] [00061] [00065] [00068] [00076] [00088] [00088] [00093] [00095] [00099] [00101] [00102] [00110] [00111] [00111] [00113]
**τήν** [00101]
**τῆς** [00013] [00013] [00014] [00024] [00025] [00029] [00051] [00063] [00065] [00065] [00065] [00067] [00070] [00108] [00112] [00112] [00113] [00113] [00114]
**Τί** [00025] [00083] [00091]
**τί** [00096]
**τι** [00029]
**τινων** [00069]
**Τίς** [00084] [00086] [00088] [00089]
**τις** [00026] [00072]
**Τὸ** [00006]
**τὸ** [00005] [00020] [00022] [00023] [00023] [00024] [00030] [00031] [00052] [00057] [00062] [00062] [00065] [00074] [00081] [00092] [00098]
**τοιαύτην** [00049] [00088]
**τοίνυν** [00048] [00062]
**τοῖς** [00007] [00009] [00064] [00073] [00093]
**τολμήσασα** [00058]
**τὸν** [00008] [00008] [00009] [00013] [00014] [00029] [00031] [00032] [00053] [00062] [00063] [00110] [00111] [00112] [00114]
**τοσούτου** [00075]
**Τοῦ** [00003]
**τοῦ** [00003] [00004] [00005] [00018] [00026] [00029] [00036] [00036] [00040] [00062] [00065] [00065] [00114]
**τοὺς** [00008] [00008] [00008] [00011] [00012] [00053] [00115]
**τοῦτο** [00055]
**τούτους** [00012]
**Τούτῳ** [00027] [00081]
**τρέμουσαν** [00110]
**τρίτος** [00071]
**τῷ** [00020] [00021] [00024] [00053] [00062] [00111]
**τῶν** [00014] [00017] [00026] [00043] [00062] [00063] [00071] [00075] [00080] [00111] [00115]

**ὑγείας** [00078]
**ὑγιὴς** [00108]
**ὕδατος** [00018]

**ὕλην** [00039]
**ὑμῖν** [00114]
**ὑπάρχει** [00027] [00059] [00111]
**ὑπέκλεπτε** [00068]
**ὑπερπηδήσασα** [00065]
**ὑπῆρχεν** [00072]
**ὑπομένει** [00018]
**ὑφορᾶται** [00008]

**φαρμάκων** [00039]
**φησὶν** [00036] [00038] [00104]
**φησίν** [00100]
**φησιν** [00083]
**φθάσαι** [00031]
**φθορὰ** [00075]
**φθορᾶς** [00051]
**φιλόπαιδι** [00027]
**φλεβῶν** [00071]
**φύλακα** [00009]
**φυλάττοντας** [00008]
**φύσεως** [00051]
**φύσις** [00027]
**φωνὴν** [00020] [00088]
**φωτὸς** [00019]

**χαλεπὸν** [00029]
**χαρὰν** [00023]
**χάριν** [00027]
**χαρίσματα** [00059]
**χάριτος** [00101]
**χειραγωγεῖ** [00012]
**χειραγωγὸν** [00056]
**Χερουβὶμ** [00014] [00017]
**χιλιάδας** [00054]
**χιτῶνος** [00065]
**χρειώδη** [00004]
**χρεώστην** [00114]
**χρῄζει** [00008]
**Χρῄζω** [00048]
**χρηστῆς** [00029]
**Χριστὸν** [00013]
**χρόνον** [00064]
**χωρεῖ** [00031]

**ψεύδεται** [00008]
**ψυχὴν** [00056]
**ψυχῶν** [00080]

**ὦ** [00091]
**ᾧ** [00115]
**ὠθούσης** [00114]
**ὡμολόγουν** [00076]
**ὧν** [00051]
**ὠνομάσθης** [00107]
**ὥρᾳ** [00080]
**ὥρας** [00114]
**ὡς** [00014] [00016] [00016] [00017] [00017] [00018] [00018] [00027] [00028] [00041] [00050] [00059]
**ὤφειλες** [00095]